*καταγωγῇ γὰρ ἔοικεν ὁ γεροντικὸς θάνατος, ἐκβολὴ δὲ καὶ ναυάγιόν ἐστιν ὁ τῶν νέων· ἐκπίπτει γὰρ ἡ ψυχὴ βίᾳ συντριβομένου τοῦ σώματος.*

## *206.

Stobaeus 4. 52. 45 (5 p. 1086 H.). *Θεμιστίου ἐκ τοῦ Περὶ ψυχῆς.*

*Ὅπου τὸν ἀπὸ τῆς Στοᾶς φιλόσοφον Ἀντίπατρον ἀποθνήσκοντα λέγουσιν ἐν εὐτυχήματος μέρει † διακεῖσθαι καὶ τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας εὔπλοιαν.*

## *207.

Stobaeus 3. 33. 16 (3 p. 681 H.). *Πλουτάρχου.*

*Περὶ τῆς καθ' Ὅμηρον ἐχεμυθίας διὰ τούτων σαφῶς δείκνυται· λέγει γὰρ* (*B* 246–247)

*'Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητὴς*
*ἴσχεο, μηδ' ἔθελ' οἷος ἐριζέμεναι βασιλῆι'.*

*καὶ τοῦ Τηλεμάχου εἰπόντος* (*T* 40)

*'ἦ μάλα τις θεῶν ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν'*

*ἐπιλαμβανόμενος ὁ πατὴρ ἔφη* (*T* 42–43)

*'σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·*
*αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι'.*

*τοῦτο ἐκσίγησιν οἱ Πυθαγορικοὶ καλοῦντες οὐδὲν ἀπεκρίνοντο τοῖς περὶ θεῶν ὅ τι τύχοιεν ἰταμῶς καὶ εὐχερῶς ἐρωτῶσι.*